πρὸϲ αὑτὸν ὥϲτε μὴ φιλανθρώπωϲ ἔτι
ταῦτ᾽ ἐξετάζειν, ἀλλ᾽ ἐμαυτῶι ϲυμφόρωϲ·
τὰ γὰρ οὐ φανερὰ δήπουθέν ἐϲτι διπλάϲια·
ἐγῷδα τούτου τὰϲ τέχναϲ τοῦ δραπέτου.

Δα. ὦ δαίμονεϲ, φοβερόν γε, νὴ τὸν Ἥλιον,
τὸ ϲυμβεβηκόϲ· οὐκ ἂν ᾠήθην ποτὲ
ἄνθρωπον εἰϲ τοϲοῦτον οὑτωϲὶ ταχὺ
πάθοϲ ἐμπεϲεῖν. ϲκηπτόϲ τιϲ εἰϲ τὴν οἰκίαν
ῥαγδαῖοϲ ἐμπέπτωκε.
(Ϲμ.) τί ποτε βούλεται;

(desunt uersus ii)

....]μονονβα[...]ν[
......]αρα[
ἄνθρωποϲ· ὑπ̣[
(Δα.) "οὐκ ἔϲτιν ὅϲτιϲ π[άντ᾽ ἀνὴρ εὐδαιμονεῖ".
πάλιν εὖ διαφόρωϲ. ὦ πολ[υτίμητοι θεοί,
ἀπροϲδοκήτου πράγματοϲ κ̣α̣ὶ̣ ἀ[
(Ϲμ.) Δᾶε κακόδαιμον, ποῖ τρέχειϲ;
[Δα.] καὶ τ̣ο̣ῦ̣τ̣ό̣ π̣ο̣υ̣
"τύχη τὰ θνητῶν πράγματ᾽ οὐκ εὐβουλία."
ὑπέρευγε. "θεὸϲ μὲν αἰτίαν φύει βροτοῖϲ,
ὅταν κακῶϲαι δῶμα παμπήδην θέληι."
Αἰϲχύλοϲ ὁ ϲεμνά—
(Ϲμ.) γνωμολογεῖϲ, τριϲάθλιε;
(Δα.) "ἄπιϲτον, ἄλογον, δεινόν."
(Ϲμ.) οὐδὲ παύϲεται;
(Δα.) "τί δ᾽ ἐϲτ᾽ ἄπιϲτον τῶν ἐν ἀνθρώποιϲ κακῶν;"



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/27 UNIVERSITÄT LEIPZIG